πικροὺς γόους δώσουσι Θηβαίᾳ χθονί.
σύ τ᾽ ὦ τάλαινα συγκατασκάπτει πόλι,
εἰ μὴ λόγοις τις τοῖς ἐμοῖσι πείσεται.
ἐκεῖνο μὲν γὰρ πρῶτον ἦν, τῶν Οἰδίπου
μηδένα πολίτην μηδ᾽ ἄνακτ᾽ εἶναι χθονός,
ὡς δαιμονῶντας κἀνατρέψοντας πόλιν.
ἐπεὶ δὲ κρεῖσσον τὸ κακόν ἐστι τἀγαθοῦ,
μί᾽ ἔστιν ἄλλη μηχανὴ σωτηρίας.
ἀλλ᾽ οὐ γὰρ εἰπεῖν οὔτ᾽ ἐμοὶ τόδ᾽ ἀσφαλὲς
πικρόν τε τοῖσι τὴν τύχην κεκτημένοις
πόλει παρασχεῖν φάρμακον σωτηρίας.
ἄπειμι, χαίρεθ᾽· εἷς γὰρ ὢν πολλῶν μέτα
τὸ μέλλον, εἰ χρή, πείσομαι· τί γὰρ πάθω;
ΚΡ. ἐπίσχες αὐτοῦ, πρέσβυ. ΤΕΙ. μὴ ᾽πιλαμβάνου.
ΚΡ. μεῖνον, τί φεύγεις; ΤΕΙ. ἡ τύχη σ᾽, ἀλλ᾽ οὐκ ἐγώ.
ΚΡ. φράσον πολίταις καὶ πόλει σωτηρίαν.
ΤΕΙ. βούλει σὺ μέντοι κοὐχὶ βουλήσει τάχα.
ΚΡ. καὶ πῶς πατρῴαν γαῖαν οὐ σῷσαι θέλω;
ΤΕΙ. θέλεις ἀκοῦσαι δῆτα καὶ σπουδὴν ἔχεις;
ΚΡ. εἰς γὰρ τί μᾶλλον δεῖ προθυμίαν ἔχειν;
ΤΕΙ. κλύοις ἂν ἤδη τῶν ἐμῶν θεσπισμάτων.
πρῶτον δ᾽ ἐκεῖνο βούλομαι σαφῶς μαθεῖν,
ποῦ ᾽στιν Μενοικεύς, ὅς με δεῦρ᾽ ἐπήγαγεν;
ΚΡ. ὅδ᾽ οὐ μακρὰν ἄπεστι, πλησίον δέ σου.
ΤΕΙ. ἀπελθέτω νυν θεσφάτων ἐμῶν ἑκάς.
ΚΡ. ἐμὸς πεφυκὼς παῖς ἃ δεῖ σιγήσεται.
ΤΕΙ. βούλει παρόντος δῆτά σοι τούτου φράσω;
ΚΡ. κλύων γὰρ ἂν τέρποιτο τῆς σωτηρίας.
ΤΕΙ. ἄκουε δή νυν θεσφάτων ἐμῶν ὁδόν·

---

ἃ δρῶντες ἂν μάλιστα σῴσαιμεν πόλιν Καδμείων.

---

884. πόλει A πόλι B πόλις ceteri. 885. λόγοις τις τοῖς ἐμοῖσι πείσεται] Porsonus, λόγοισι τοῖς ἐμοῖς τις πείσεται libri. 888. κ᾽ ἀναστρέψοντας A κἀνατρέψαντας BE κἀναστρέψαντας F ἀναστρέψαντας c κἀνατρέψοντας C 902. μ᾽ ἄλλο B μᾶλλον ceteri. 904. σαφῶς μαθεῖν AB μαθεῖν σαφῶς Fbc σάφα μαθεῖν C 905. ἀπήγαγεν FbC 906. δέ που Bbc 907. ἀπελθέτω δή B 912. sic A, ἃ δρῶντες ἂν σώσαιτε καδμείων πόλιν ceteri.